ἐλεγξάντων, εἴ τις τὶ μὴ ἀληθὲς λέγει· οὐκ ἀηδέστερον μέντ᾽ ἂν ἐλεγχθέντων, ἢ ἐλεγξάντων. μεῖζον γὰρ αὐτὸ ἀγαθὸν ἡγοῦμαι, ὅσῳπερ o) μεῖζον ἀγαθόν ἐστιν, αὐτὸν ἀπαλλαγῆναι κακοῦ του p) μεγίστου, ἢ ἄλλον ἀπαλλάξαι. οὐδὲν γὰρ οἶμαι τοσοῦτον κακὸν εἶναι ἀνθρώπῳ, ὅσον δόξα ψευδὴς περὶ ὧν τυγχάνει νῦν ἡμῖν ὁ λόγος ὤν. εἰ μὲν οὖν καὶ σὺ φὴς τοιοῦτος εἶναι, διαλεγώμεθα· εἰ δὲ καὶ δοκεῖ χρῆναι ἐᾶν q), ἐῶμεν ἤδη χαίρειν, καὶ διαλύωμεν τὸν ξύλλογον r). ΓΟΡ. Ἀλλὰ φημὶ μὲν ἔγωγε, ὦ Σώκρατες, καὶ αὐτὸς s) τοιοῦτος εἶναι οἷον σὺ ὑφηγεῖ· ἴσως μέντοι χρῆν t) ἐννοεῖν καὶ τὸ τῶν παρόντων. πάλαι γάρ τοι, πρὶν καὶ ὑμᾶς ἐλθεῖν, ἐγὼ τοῖς παροῦσι πολλὰ ἐπεδειξάμην, καὶ νῦν ἴσως πόῤῥω ἀποτενοῦμεν, ἢν v) διαλε-

o) Cod. Aug. ὅσοπερ. mendose.

p) Cod. vterque τοῦ, etiam Bas. 2. et Stephan. Sed Ald. Bas. 1. του, vt nos edidimus. Ficinus: *maximo quodam liberari malo.*

q) Ald. ἐάν. Ante δοκεῖ deest καὶ in Bas. vtraque. Ficinus: *sin vero dimittendum censes.*

r) Ficinus: *coetumque soluamus.* Codex igitur eius conspirauit cum Codice Meerm. vbi erat τὸν σύλλογον. ita tamen, vt eadem manus margini adscripserit γρ· τὸν λόγον. Contra in Cod. Aug. λόγον, quod in editis libris quoque reperitur, superscriptum habebat σύλλογον, vt Cornarius etiam legendum praecipit.

s) Cod. Meerm. ἔγωγε καὶ αὐτὸς ὦ σώκρατες τοιοῦτος. In Cod. Aug. deerant verba καὶ αὐτὸς. Statim pro ὑφηγεῖ in Ald. Bas. 1. est ὑφηστῇ. vitiose.

t) Cod. vterque χρή. male. Attici enim solent Imperfecto χρῆν vti loco Praesentis. Thom. Magist. Χρῆν καὶ ἀντὶ τοῦ ἔπρεπε, κατ᾽ ἀφαίρεσιν τοῦ ἐ — καὶ ἀντὶ τοῦ πρέπει. Vbi consule Oudendorp.

v) Cod. vterque ἐάν. Bas. 2. autem vitiose ἦν.